ὁρῶν. ἐπειδὴ δ' ἐστὶν ἀλλοτρίως ἔχων
πρὸς ἐμέ, ποήσω ταῦτ' ἐγώ· τὴν οὐσίαν
οὐχὶ καταλείψω τὴν ἐμὴν διαρπάσαι
τούτοις, ὅπερ δὲ καὶ παραινοῦσίν τινες
τῶν γνωρίμων μοι λήψομαι τὴν παρθένον
γυναῖκα ταύτην· καὶ γὰρ ὁ νόμος μοι δοκεῖ
οὕτω λέγειν πως, Δᾶε. ταῦτ' οὖν ὃν τρόπον
πράττοιτ' ἂν ὀρθῶς καὶ σὲ φροντίζειν ἔδει·
οὐκ ἀλλότριος ⟨εἶ⟩.

Δα. Σμικρίνη, πάνυ μοι δοκεῖ
τὸ ῥῆμα τοῦτ' εἶναί τι μεμεριμνημένον
τὸ "γνῶθι σαυτόν". ἐμμένειν τούτῳ μ' ἔα
ὅσα τ' οἰκέτηι δεῖ μὴ πονηρῶι ταῦτ' ἐμοὶ
ἀνάφερε καὶ τούτων παρ' ἐμοῦ ζήτει λόγον

(desunt uersus i uel ii)

σὸν δ' εἴ με δῳ[
πάντας θερά[ποντ]ας ἐςτι[
σώματα μεχ[...λ]αμβανοντ[
σημεῖ' ἐπέςτ[ ], συνήλλαξέν τιςιν
ἐκεῖνος ἀποδημῶν ἔχω φράζειν· ἐγὼ
ταῦτ', ἂν κελεύηι τίς με, δείξω καθ' ἕν, ὅπου,
πῶς, τοῦ παρόντος. περὶ δὲ κλήρου, Σμικρίνη,
ἢ νὴ Δί' ἐπικλήρου γάμων τε καὶ γένους
καὶ διαφορᾶς οἰκειότητος μηκέτι
Δᾶον ἄγετ' εἰς μέσον· τὰ τῶν ἐλευθέρων
αὐτοὶ δὲ πράττεθ' οἷς τὸ τοιοῦτον ἁρμόσει.

Σμ. δοκῶ δέ σοι τι πρὸς θεῶν ἁμαρτάνειν;

(Δα.) Φρύξ εἰμι· πολλὰ τῶν παρ' ὑμῖν φαίνεται
καλῶν ἐμοὶ πάνδεινα καὶ τοὐναντίον